ρήσας, καὶ εὑρὼν τὸ ταμεῖον ἀνεῳγμένον, εἰσελθὼν, ἔφαγε
τὰ σῦκα. Ταῦτα ἀκούσας ὁ δεσπότης καὶ θυμωθεὶς ἐβόα,
Αἴσωπον τίς με καλεσάτω. Ὁ δὲ Αἴσωπος παρεγένετο. καὶ
φησὶ ὁ δεσπότης, λέγε μοι σὺ ἐπικατάρατε δοῦλε, τοσοῦτον
Sic μοὶ (ου) κατεφρόνησας, καὶ εἰσελθὼν ἐν τῷ ταμείῳ τὰ ἡτοι-
μασμένα σῦκα κατέφαγες; Ὁ δὲ Αἴσωπος ἀκούσας, λα-
λεῖν μὲν μὴ δυνάμενος διὰ τὸ τῆς γλώττης βραδὺ, διὰ δὲ
τοῦ νοὸς τὴν ὀξύτητα, θεωρῶν δὲ καὶ τοὺς κατηγόρους αὐτοῦ
ἐς ὅτιν αὐτοῦ ἐρῶσας. καὶ μέλλων δαίρεσθαι ὁ Αἴσωπος,
πεσὼν παρὰ τοὺς πόδας τοῦ κυρίου αὐτοῦ, παρεκάλει, μι-
κρὸν ἐνδοῦναι αὐτῷ, καὶ δραμὼν, λαβὼν ξέστην καὶ θερμὸν Sic divino. graeca fere crasa erant.
Sic συγκεράσας, καὶ λεκάνην παραθεὶς. ἐκπίων τὸ θερμὸν, ἐ- f. λεχάνην.
χάλασε τοὺς δακτύλους αὐτοῦ ἐπὶ τὸ ἴδιον στόμα, καὶ παρα-
ράξας αὐτὸν, ἀνέβαλε τὸ ὕδωρ, καὶ μόνον ἐκ τοῦ στομίου
αὐτοῦ ὃ ἐπεπόκει. Οὐδενὸς γὰρ ἄλλου ἦν γευσάμενος παρ-
άπαν ὁ Αἴσωπος. ἐδέετο δὲ, ἵνα καὶ οἱ κατήγοροι αὐτοῦ